PRIM LUDWICH

INSUNT VARIETAS LECTIONIS
ET SCOLIA AD BATRACHOMYO-
MACHIAM EX CODICE VENETO
CUM EPIMETRO EDITA AB
ARTHURIO LUDWICH

NATALICIA

PRINCIPIS GENEROSISSIMI

GUILIELMI PRIMI

REGIS BORVSSORVM IMPERATORIS GERMANORVM

DIE XXII MARTII ANNO MDCCCLXXI

PIE CELEBRANDA

INDICUNT

ACADEMIAE ALBERTINAE PRORECTOR ET SENATUS.

INSUNT VARIETAS LECTIONIS ET SCHOLIA AD BATRACHOMYOMACHIAM EX CODICE VENETO CUM EPIMETRO EDITA AB ARTHURIO LUDWICH.

REGIMONTI.

TYPIS ACADEMICIS DALKOWSKIANIS.

Eidem codici Veneto Marciano nr. DCXIII., ex quo ante hos tres menses in programmate Acad. Alb. Regim. 1871. I. scholia ad Odysseae l. XIII. edidi*), etiam haec varietas lectionis et scholia ad Batrachomyomachiam debentur. Quo de codice a compluribus manibus conscripto quum l. l. fusius egerim, nunc satis habeo commemorare, manum M^a (quae in his est 𝔞), iis omnibus, quae Odysseam exaraverunt, recentiorem, eandem tamen, quae ad Odysseam longe plurima adnotamenta adpinxit, in foliis quinto sexto septimo Batrachomyomachiam cum scholiis interlinearibus et marginalibus scripsisse: quibus pauca addita sunt ab M^b (quae in his est 𝔟) etiam recentiore manu; sed eadem manus 𝔟 totum folium quartum scholiis ad Batrachomyomachiam replevit. Quae omnia quamvis parvi pretii ad verbum quam potui diligentissime descripta ad versus suos revocavi et inordinata digessi; monendum vero, haud pauca propter minutos characteres in schedis hic illic detritis fuisse lectu difficillima vel prorsus evanuisse: quae dubitationis signo (?) vel aliter notavi; cancellis inclusa mihi ipsi nolenti potius quam volenti has nugas perpolire exciderunt. Textum quem dicunt poematii contuli cum Augusti Baumeisteri recensione Gottingae 1852 edita, cuius numeros quoque versuum retinui. Litteris DC. significavi DuCangii glossarium, qui et glossis interlinearibus mss. in Batrachomyomachiam ex cod. Colb. 4343 et Reg. („quas Leonardo Cretensi quidam adscribunt" Ind. auctor. p. 35. nonne Laonico Cretensi? cf. ib. p. 53) saepius usus est et Demetrii Zeni Zacynthii Batrachomyomachia versibus politicis scripta (exstat cum Martini Crusii adnotationibus in eiusd. Turcograeciae libro VI. pag. 371—399 et in Joh. Mich. Langii ad poesin Barbaro-Graecam succincta introductione Altdorfi a. 1707 edita pag. 45 sqq.).

---

*) Ibi haec corrigenda remanserunt: pag. 3 lin. 1 ab infer. marg. lege *ter est adnotatum*, pag. 21 lin. 6 a super. marg. lege *ἀπὸ* pro *ἀπο*, ead. pag. ad vs. 427 lege *καθέξει*.

VARIETAS LECTIONIS. 1 *χορὸν μουσῶν*

SCHOLIA. *Οὐ ῥήτορσι μόνον καὶ ποιηταῖς καὶ φιλοσόφοις εὐπορίαν ὅμηρος δίδωσι τῶν οἰκείων ἐπιστημῶν οὐδὲ στρατηγοῖς τε καὶ ἄρχουσι καὶ πολεμισταῖς, ἀλλ' ἤδη καὶ τοῖς παίζειν ἐθέλουσι σπουδαῖα προστίθησι παίγνια ἔν τε τοῖς ἄλλοις αὐτοῦ ποιήμασι καὶ οὐχ ἥκιστα τῇ μυοβατραχομαχίᾳ· συγκέκραται γὰρ αὕτη παιγνίοις τὲ καὶ σπουδάσμασι. καὶ διατοῦτο μᾶλλον ἁρμόζει μείραξιν ἁπαλοῖς ἐπτοημένοις περὶ τὰ παίγνια, ὅσους δηλαδὴ ἔτι ἡ ἐγκύκλιος παίδευσις γαλακτοτροφεῖ. ἐπεὶ δ' ὡς φθάνομεν λέξαντες μέτεστι ταύτῃ τῷ γε κατ' ἀλήθειαν βλέποντι καὶ συχνῆς ὠφελείας, φέρε τὰ μὲν ἄλλα παρήσομεν, ὅσα δὲ τινὶ πρὸς ὄνησιν, ταῦτα μετελευσόμεθα. ἡ τοίνυν παροῦσα ποίησις μυῶν καὶ βατράχων ἐμφέρει πολέμους· διδάσκει δὲ πρότερον, τίνα μὲν βατράχων τὰ βρώματα, ποῖα δὲ τοῖς μυσὶ, καὶ ἐν τῷ μεταξὺ ἱστορίας τινὰς καὶ διδασκαλίας ἠθικὰς εἴτουν παιδευτικὰς παραδίδωσι τοῖς νέοις φράσιν ὡραίαν καὶ λεκτικὴν, ὅση τῇ ποιητικῇ χρήσιμος, καὶ ἱστορίαν καὶ μέτρον καὶ ἄλλα τὰ ὠφέλιμα καὶ τοῖς εἰσαγωγικοῖς τὰ ἐς ποίησιν χρήσιμα* **b** *ἰστέον ὅτι τὰ μὲν πράγματα καὶ ὁ πόλεμος περί που τὸν ἠριδανὸν ποταμὸν κεῖται ἐς λίμνην τινὰ ἀπ' αὐτοῦ τοῦ ποταμοῦ πλημμύρουσαν καὶ συνισταμένην* (cf. ad vs. 10). *ἡ δὲ ὑπόθεσις ἔχει οὕτω· μῦς τις ἔκδιψος ἐν* (hoc ex *ὢν* corruptum videtur) *λίμνῃ ἐπλησίασε καὶ πίνων ἠρωτήθη παρὰ βατράχου, τίς τε εἴη καὶ πόθεν. ἐπεὶ δὲ πάντως σαφῶς εἴρηκεν, εἰς ἔρωτα ἦλθε τοῦ κολυμβῆσαι, καὶ ἐπιβὰς τῶν τοῦ βατράχου νώτων, ἐπεί περ ἐκεῖνος ὄφιν θεασάμενος κατέδυ, ἄπειρος ὢν πλευστικῆς πνίγεται. τυγχάνει δὲ ἕτερος μῦς αὐτό που (αὐτόθι?* quod Lehrsio debeo) *καὶ τὸ γεγονὸς καθορᾷ καὶ μηνύει τὴν τύχην τοῖς μυσὶν. οἱ δὲ ὁπλίζονται καὶ συμβάλλουσι τοῖς βατράχοις πόλεμον. καὶ μικροῦ πάντας διεχειρίσαντο, εἰ μὴ ζεὺς βατράχους ᾠκτείρησε καὶ συμμάχους αὐτοῖς καρκίνους ἀπέστειλεν, οἳ τοὺς μύας κατηγωνίσαντο καὶ εἰς φυγὴν ἔτρεψαν τὰ οὐραῖα τοῖς στόμασι καὶ ταῖς χηλαῖς τέμνοντες. ἡ μὲν ὑπόθεσις τοιαύτη. ἔστι δὲ τὸ παρὸν ποίημα μῦθος ἠθικὸς μᾶλλον ἢ ποιητικὸς, οὐχ ὅτι παιδεύει τὰ ἡμῶν ἤθη εἰς ἀνθρώπινα· καὶ ἐντεῦθεν οὖν γλυκύτατον* **b** *ἀρχὴ τῆς μυοβατραχομαχίας* **a**, suprascriptum *αὕτη δὲ ἐστὶ τίγρητος* (sic) *τοῦ καρός* **a** (cf. Tzetzes Exeg. in Il. p. 37,3 Herm.) 1 *ἀρχόμενος πρῶτον: ὁ νοῦς τοῦ προοιμίου τοιοῦτος ἐστὶν· ἀρχὴν ποιῶν τοῦ παρόντος ποιήματος εὔχομαι ἐλθεῖν τὰς μούσας εἰς τὴν ἐμὴν ψυχήν· εὔχομαι, ἵνα καὶ πάντες οἱ ἄνθρωποι τοῦ ἐμοῦ ποιήματος ἀκούσωσιν. εὐκατάστου (εὐκατάστατον?) δέ ἐστι τὸ προοίμιον καὶ ἀξιωματικόν. ἵνα γὰρ πείσῃ πάντα*[ς] *ἀκοῦσαι τοῦ ποιήματος, ἐπὶ τὰς μούσας ἀναφέρει τὸν λόγον, οὐχ ἑαυτῷ θαρρῶν, ἀλλὰ ταῖς θεαῖς. ἐκ τούτου δὲ ἐξέβη καὶ λόγος τὸ „χρὴ ἀπὸ τοῦ θεοῦ ἄρχεσθαι καὶ εἰς τὸν θεὸν καταλήγειν". δοκεῖ μοι καὶ τὸν τιμαι* (ω suprascr.) *πλάτωνα ἐντεῦθεν εἰληχέναι τὴν ἀρχὴν λέγοντα* (p. 27 c) *„πάντες ὅσοι καὶ καταβραχὺ σωφροσύνης κατέχουσιν, ἐπὶ παντὸς ὁρμῇ καὶ σμικροῦ πράγματος θεὸν ἀεί που καλοῦσιν". τί γὰρ εἰπέ μοι τούτου τοῦ ποιήματος εὐτελέστερον; ἀλλ' ὅμως ὁ πολὺς ὅμηρος καὶ μᾶλλον ἐν τούτῳ τὰς μούσας ἐπικαλεῖται, ἵνα, ὡς εἴπωμεν* (l. *εἴπομεν*), *προτρέψηται πάντας εἰς τὴν τούτου ἀκρόασιν.* (*καὶ σημείωσαι*, coll. adnot. ad v. 72) *ὅτι ἐν μὲν τῇ ἰλιάδι μόνον τὴν καλλιόπην ἐπικαλεῖται ἀπὸ τῶν ἄλλων μουσῶν, ᾧ*

4 δῆριν (superscr. εἰ ην)   8 ἔπος] λόγος   ἔχεν] ἔσχεν

συντ[όν]ως δὲ καὶ ἐν τῇ ὀδυσσείᾳ „ἄνδρα μοι ἔννεπε μοῦσα", ἐνταῦθα πάντα τὸν χορὸν τῶν μουσῶν· καὶ εἰκότως· ἐκεῖ γὰρ αὐτὰ τὰ πράγματα καὶ ἡ ὕλη χρησίμη οὖσα καὶ ἐκ μόνης τῆς καλλιόπης δύνανται (δύναται?) ἐφέλκειν καὶ ἡδύνειν τὸν ἀκροατήν· ἐνταῦθα δὲ ἐπεὶ ἡ ὕλη ἐστὶν εὐτελής, διατοῦτο δὴ δέεται πασῶν τῶν μουσῶν. δύναται δὲ καὶ ὁ τοῦ γοργίου ῥήμτ (i. e. ῥήματος. lege ῥήτορος) λόγος ξυμβάλλειν ἐνταῦθα λέγων „τὰ μὲν αὐτῶν ἰσχυρὰ τῶν νοημάτων δεῖσθαι ὀλιγωτέρας σπουδῆς, τὰ δὲ ὀλιγώτερα πλείονος" **b**   ἀρχόμενος] ἀρχὴν λαμβάνων ἐγὼ τοῦ λόγου ἐμοῦ ποιήσω **a** il (i. e. scholium interlineare)*)   ὅτι αἱ μοῦσαι διός εἰσι θυγατέρες καὶ μνημοσύνης κατὰ τὸν μῦθον· τοῦ μὲν διός, εἰς τὸν νοῦν ἐκλαμβανόμεναι ἀλληγορικῶς· τῆς δὲ μνημοσύνης, εἰς αὐτὸν τὸν νοῦν· τῶν δὲ μουσῶν, εἰς τὰς γνώσεις. εἰσὶ δὲ θ' οὕτω καλούμεναι· κλειὼ θάλεια εὐτέρπη τερψιχόρη ἐρατὼ πολύμνια μελπομένη οὐνία καὶ καλλιό(π) **b**   ἑλικὼν πραγματικῶς ὄρος βοιωτίας, ἀλληγορικῶς θ σφαίρας ἢ βίβλον, ἀπὸ τοῦ ἑλίσσεσθαι **a**   2 ἐλθεῖν] καταλαβεῖν **b** il   ἐμὸν ἦτορ] τὴν ἐμὴν ψυχὴν **b** il   ἐπεύχομαι] παρακαλῶ **a** il   εἵνεκ' ἀοιδῆς] ἕνεκα τῆς ποιήσεως **b** il   3 ἣν] τὴν ἀοιδὴν **a** il   νέον] νεωστὶ **a** il   ἐν δέλτοισιν] πῶς δε sic **a** il βιβλίοις **b** il   θῆκα] ἐν τίσι **a** il ἀφαίρεσις ἰωνικὴ **b** il ποιητικῶς, ἔγραψα **a**   4 δῆριν] μάχην **b** il λέγω τὴν **a** il   πολεμόκλονον] τὸ τὴν ταραχὴν του πολέμου **a** il   ἄρηος] ἰστέον δὲ ὅτι ὁ ἄρης τρεῖς κλίσεις ἐπιδέχηται· ἄρης ἄρητος, ἄρης ἄρεος· τὸ συνηρημένον δὲ ἄρους οὐχ εὕρηται. ἔστι δὲ καὶ ἄρευς ἄρεως **b** (cf. Herodian. II 682, 4 Lentz.)   5 εὐχόμενος] παρακαλῶν ἐγὼ **a** il   βαλέσθαι] ἀντὶ τοῦ βαλεῖν **a** il ταύτην τὴν ποίησιν **b**   6 πῶς] τί βαλεῖν **a** il   μύες] παρὰ τὸ μύω τὸ ἐπικαλύπτομαι **b** il   ἀριστεύσαντες] νικήσαντες καὶ ἀριστεῖα λαβόν[τ]ες **a** il   ἔβησαν] βίβημι **b** il   7 γηγενέων] τῶν ἀπὸ γῆς γεννηθέντων **a** il ἀπὸ τῆς γῆς **b** il   μιμούμενοι] οἱ μύες καὶ οἱ βάτραχοι **a** il   8 ὡς] καθάπερ **a** il   ὡς λόγος ἐν θνητοῖσιν] ὡς τὸ λέγου[σι]ν οἱ ἄνθρωποι **a** il   ἔην] ἐστὶν **b** il   ἔσχεν] εἶχεν **a** il   9 ποτέ: τοῦ διηγήματος ἄρχεται ἀπὸ εὐποικίλου καὶ παισὶ μάλιστα πρέποντος **b**   διψαλέος ὁ ἔκδιψος. καὶ ἡ αἰτία τοῦ δίψους ἐντεῦθεν δήλη· ἐν γὰρ τοῦ εἰπεῖν

*) Ab his glossis interlinearibus differt paraphrasis interlinearis Theodori Gazae nomini addicta, cuius initium edidit Bandinius e Laurentiano codice I plutei XXXII (Catalog. II p. 121): ἀρχὴν τήνδε ποιούμενος προηγουμένως τὸν τῶν Μουσῶν σύλλογον ἐκ τοῦ Ἑλικῶνος ἀφικέσθαι εἰς τὴν ἐμὴν ψυχὴν εὔχομαι χάριν ᾠδῆς καὶ ἐμμελίας ποιητικῆς, ἣν νεωστὶ ἐν πινακιδίοις καὶ χάρταις ἐπὶ τοῖς ἐμοῖς γόνασιν ἔθηκα, μάχην ἄπειρον καὶ πλείστην (superscriptum est μεγίστην), ἔργον πολυτάραχον πολέμου (superscr. Ἄρεος), δεόμενος εἰς τὰ ὦτα πάντων τῶν ἀνθρώπων ἐμβαλεῖν κ. λ. Totam hanc paraphrasin ex eodem codice in vulgus emisit Franciscus Fontani in libro qui inscribitur „ΟΜΗΡΟΥ ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ ΣΥΝ ΤΗΙ ΜΕΤΑΦΡΑΣΕΙ. Florentiae et Lipsiae 1804." sed, ut ex illo Bandinii specimine colligo, non ea diligentia, quam praedicat: „nefas enim duxi" inquit „quidquam immutare vel imminuere". Ea quoque scholia sunt diversa, quibus usus est Leonhart. Lycius, cuius ad vs. 3 haec sunt verba (ed. Lips. 1622. pag. 39): „in antiquo libro habetur tale σχόλιον: ἣν ἐν ταῖς βίβλοις ἐγγράφων καὶ χωράτιων [sic] δηλονότι ἔθηκα ἐν τοῖς ἐμοῖς γόνασιν. ὁ γὰρ γράφων τίθησιν ἐν τοῖς ἑαυτοῦ γόνασι τὸν χάρτην καθ' οὗ γράφει." De Moschopuli scholiis nihil habeo comperti, nisi quod C. Wachsmuth adnotavit in Mus. Rhen. XX. (1865.) p. 176.

10 ἁπαλὸν] γρ' πίνων in marg. 11 κατεῖδε 12 λιμνόχαρις

„γαλέης κίνδυνον ἀλύξας“ ἐδήλωσεν .... χεν (codex lacunam habet. fort. ἔτρεχεν). ὁ δρόμος δὲ καύματός ἐστι γεννητικὸς καὶ διατοῦτο καὶ τοῦ ὑγροῦ ἀναλωτικὸς, ὃ γέννα τοῦ δίψους **b** διψῶν **a** il ἀπὸ τοῦ (παρὰ τὸ Et. M. 279, 55, sed v. ad vs. 10. 111. 129 et Sylburg. ad Et. M. 1, 20) ἴπτω, τὸ βλάπτω, ἴψω καὶ ἐκ τούτου ἴψα καὶ δίψα **b** il γαλέης] νύμφης **a** il γαλῆ ἡ κάτα ἢ καὶ ἡ αἰλουρὶς (cf. ad v. 114), ἀπὸ τοῦ ἄγαν ἅλεσθαι. ἡ αὐτὴ δέ ἐστι καὶ ἀσκαλαβώτης **b** [ἀ]λύξας: ὅτι τὸ ἀλύξας ἀπὸ τοῦ ἀλύσσω θέματος γίνεται, ὅπερ γίνεται οὕτως· ἀλεύω (ἀλύω Et. M. 71, 43), τὸ ἐκφεύγω, οὗ ὁ ἀόριστος ἤλευσα· ἐκ γοῦν (haec duo verba fere detrita) τούτου διὰ δύο σσ ἀλύσσω, οὗ ὁ μέλλων ἀλύξω **b** 10 ἐν λίμνῃ: λίμνη λέγεται καὶ ἡ θάλασσα καὶ τὸ ἁπλῶς σύστημα τῶν ὑδάτων. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ λίαν μένειν. οὐ γὰρ τὰ ῥέοντα λίμναι λέγονται, ἀλλὰ τὰ ἱστάμενα **b** (Et. M. 566, 13) ἁπαλὸν] τὸ τρυφερὸν **a** il τὸ δὲ ἁπαλὸν ἀπὸ τοῦ ἅπτομαι ἁπταλὸν καὶ ἁπαλὸν. ὥσπερ τὸ μαλακὸν ἀπὸ τοῦ μαλάσσεσθαι, οὕτω καὶ ἁπαλὸν ἀπὸ τοῦ ἅπτεσθαι γίνεται **b** γένειον] τὸ **a** il γένειον: ὅτι ἄλλο μέν ἐστι γένυς, ἕτερον δὲ τὸ γένειον. γένυς μὲν γάρ ἐστι τὸ ὑπεράνω ἢ μᾶλλον ἑκατέρωθεν τῶν ὀδόντων χείλη. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ κενὸν, τὸ κοῦφον, διὰ τὸ εἶναι ταῦτα κενὰ ὀστῶν (Et. M. 226, 2). γένειον δὲ ἡ ἐν τῇ γέννϊ τρίχωσις καὶ ὁ πώγων **b** 11 τερπόμενος] πίνων **a** il εὐφραινόμενος **b** il μελιηδέϊ] γλυκεῖ **a** il τὸν δὲ] τὸν μῦν **a** il κατεῖδε] ἐθεάσατο **b** il τὸν κατεῖδε: ὅτι οὐ μόνον αἱ μετοχαὶ ἀντὶ ὀνομάτων λαμβάνονται οὐδὲ προθέσεις ἀντὶ συνδέσμων, ἀλλ' ἤδη καὶ τὰ προστακτικὰ ἄρθρα ἀντὶ ὑποτακτικῶν, ὡς ὅταν λέγωμεν ὃ καὶ ὅστις· καὶ αὐτὰ πάλιν τὰ προστακτικὰ ἀντὶ ἀντωνυμιῶν, ὡς ἐν τῇ ἰλιάδι (*A* 9) „ὃ γὰρ βασιλῆϊ χολωθεὶς“ ἀντὶ τοῦ „οὗτος γὰρ“, καὶ ὡς ἐνταῦθα. τὸ δὲ κατεῖδε σημειοῦνται οἱ παλαιοὶ, ὡς μόνον ἐπὶ παρατατικοῦ διφθογγιζόμενον, ἐπὶ τῶν χρόνων δὲ ἐγκλίσεων ἰωτογραφούμενον **b** (cf. Lentzii Herodian. II 497, 14) 12 λιμνόχαρις] ὁ ἐν τῇ λίμνῃ χαίρων, ἤγουν ὁ βάτραχος **a** il πολύφημος] ἐξοχώτατος τῶν ἄλλων **a** il ἐφθέγξατο] εἶπε **a** il 13 ξεῖνε: τί διαφέρει ξεῖνος, φίλος καὶ ἑταῖρος, καὶ εὔνους, συγγενὴς καὶ ἐρώμενος; ξένος μὲν γάρ ἐστιν ὁ ἅπαξ ξενωθεὶς τινὶ καὶ διατοῦτο φιλωθεὶς· φίλος δὲ ὁ ἔξω πάσης φιλίας φιλῶν καὶ δι' αὐτὸ τὸ τῆς φιλίας καλὸν καί που δεῆσαν συνδυστυχῶν καὶ συνευτυχῶν· ἑταῖρος δὲ ὁ συνήθης ἁπλῶς καὶ γνώριμος· εὔνους δὲ ὁ πιστὸς δοῦλος, ἢ εἰ χρὴ πείθεσθαι τῷ ἀριστοτέλῃ ἐν τοῖς μεγάλοις ἠθικοῖς (II 12 pag. 1212 a 3) περὶ τούτων διαλαμβάνοντι, εὔνους ἐστὶν ὁ ἀπὸ μόνου τοῦ ἰδεῖν ἢ ἀκοῦσαι τί ὑπέρ τινος ἀγαθὸν φίλος γενόμενος· συγγενὴς δὲ ὁ φύσει φιλῶν, οἷον ὁ πατὴρ ἢ ὁ υἱὸς ἢ ἀδελφὸς ἢ μήτηρ· ἐραστὴς δὲ καὶ ἐρώμενος οἱ διὰ πάθος φιλοῦντες καὶ φιλούμενοι **b** ὦ **a** il $\overset{\lambda}{\text{φί}}$ **b** il τίς] ποῖος **b** il ἐπ' ἠόνα] ἐπὶ τὸν αἰγιαλὸν **b** il ὁ φύσας] ὁ γεννήσας **b** il 14 πάντα] ἅ σοι λέγω **a** il ἀλήθευσον] εἰπὲ τὴν ἀλήθειαν **a** il ἅπερ μοι μέλλεις εἰπεῖν ἀληθῶς εἰπὲ **b** il ψευδόμενον: ὅτι τὸ ψεῦδος ἀπὸ τριῶν ταυτὸ σημάντων ῥημάτων δοκεῖ γίνεσθαι· τὸ ἴψω τὸ (hoc ex δὲ videtur corruptum) λέγω τοῦ σημαίνοντος τὸ βλάψω, τὸ εὔω τοῦ σημαίνοντος τὸ καίω, καὶ τοῦ

20 *ὄχθαις* 21 *καί σε* 24 *ἀπαμείβετο*] *ἠμείβετο* 25 *ζητεῖς φίλε· δῆλον ἅπασιν* 26 *θεοῖς καὶ* **a**, *τε* **b** suprascripsit 28 *ἡ δέ μοι μήτηρ*

δαίνω τοῦ δηλοῦντος τὸ αὐτὸ sic **b** *ψευδῆ λέγοντα* **b** il *νοήσω*] *γνωρίσω* **b** 15 *σε γνοίην*] *νοήσω σε* **a** il *ἐς δόμον*] *εἰς τὸν ἐμὸν δηλονότι οἶκον* **b** il 16 *δῶρα: δῶρον καὶ χάρισμα διαφέρει· δῶρον μὲν γάρ ἐστι τὸ προκεχρεωστημένον καὶ ἀφεθέν, χάρισμα δὲ τὸ ἁπλῶς οὕτω διδόμενον* (haec duo fere detrita) **b** *τοι*] *σοι* **a** il *ξεινήϊα*] *φιλικὰ* **b** il *τὰ ἐπὶ τοῖς ξένοι(ς* add. **b**) *διδόμενα* **a** il *ἐσθλὰ: ἐσθλὸν τὸ ἀγαθὸν, ἀπὸ τοῦ ἐθέλω* (Et. M. 382, 7). *πάντες γὰρ τὰ ἀγαθὰ ἐθέλομεν καὶ τοῦ ἀγαθοῦ ἐφιέμεθα, ὅτι οὐ μόνον πολλὰ ὀφείλουσιν εἶναι τὰ χρήματα, ἀλλὰ καὶ ἐσθλὰ. οὕτω γὰρ ἂν καὶ ἀγαπητὰ* **b** *ἀγαθά* **b** il 17 *φυσίγναθος*] *ὁ περιφυσιωμένας* (sic) *τὰς γνάθους ἔχων* **a** il *κενόδοξος κομπορήμων* sic **a** 18 *τιμῶμαι*] *τίμιος εἰμὶ* **b** il *βατράχων*] *βάτραχος ὁ βάζων τραχέα* (Et. M. 191, 57). *σημειοῦται, ὅτι βάτραχος ἐκ πηλέως καὶ ὑδρομεδούσης ἰσχυρίζεται γεγενῆσθαι. ἐκ πηλέως μὲν* (sed litterae *έως μὲν* fere evanuerunt) *καὶ ὑδρομεδούσης, ἤτοι πηλοῦ καὶ ὕδατος· ἐξ ἠριδανοῦ δὲ, παρόσον ὁ ἠριδανὸς τῶν ἄλλων ποταμῶν θερμότερον φέρει τῶν ἄλλων τὸ ὕδωρ, οὗ χρεία τῇ τοῦ βατράχου γενή[ν]σει. μυθεύονται δὲ διατοῦτο, ὅτι ὁ φαέθων ὠλίσθησεν ἐν τούτω τῶ ποταμῶ**), *ὃ πλεονεξία τίς δοκεῖ τοῦ πυρώδους τοῖς περὶ τὰ τοιαῦτα δεινοῖς. ὁ ἠριδανὸς δὲ παράκειται τοὺς κελτοὺς, ὡς μαρτυρεῖ δὲ καὶ ὁ διονύσιος* (Perieg. 289 sq.) *λέγων* „*τοῖς δ' ἐπὶ πυρραίναιον ὄρος καὶ δώματα κελτῶν ἀγχόθι πηγάων καλλιρρόου ἠριδανοῖο*“ **b** *ἡγούμενος*] *ἡγεμονεύων* **a** il *βασιλεύων τῶν βατράχων* **a** *ἤματα πάντα*] *ἡμέρας πάσας* **a** il 19 *πηλεὺς*] *ἤγουν ὁ πηλὸς* **b** il *ὑδρομεδούσῃ*] *τῇ μεδούσῃ ἐν τοῖς ὕδασιν* **a** il 20 *μιχθεὶς*] *τίνι; τῇ ὑδρομεδούσῃ* **a** il *παρ' ὄχθαις*] *πλ*[η] (puto *πλησίον*, cf. ad 154. 195 et Bast. ap. Schaefer. Gregor. Cor. p. 820 et 832) **a** il *τὰ χείλη* **b** il *ἠριδανοῖο*] *ποταμοῦ* **a** il *κελτικοῦ* **b** il 21 *καί σε δ' ὁρῶ καλόν τε κτέ.*] *οὓς ἡ φύσις ἐκολόβωσεν ἄνδρες οὐκ ἀγαθοὶ* **b** sine lemmate in superiore margine, quod scholium huc referri posse duxi *ἔξοχον*] *μέ*[γ] **a** il *ἄλλων*] *μυῶν* **a** il 22 *μαχητὴν*] *σιχυρὸν* **a** il 23 *ἔμμεναι*] *ὑπάρχειν* **a** il *γενεὴν*] *τὸ γένος* **a** il *ἀγόρευε*] *λέγε* **a** il 24 *τὸν*] *τὸν βάτραχον τὸν φυσίγναθον* **a** il *ψιχάρπαξ*] *ὁ τὰς ψιχίας* (l. *τὰ ψιχία*) *ἁρπάζων ἤγουν ὑμᾶς* **a** il *φώνησέν τε*] *ἐξ ἀμοιβῆς ἀπεκρίνατο* **a** il 25 *τίπτε*] *τί ποτε* **a** il *ἧν* (?) *καὶ κατὰ συγκοπὴν* **b** il *τοὐμὸν*] *ἰωνικὸν* **a** il *φίλε*] *ὦ* **a** il *δῆλον*] *ἡ γενεὰ ἐμοῦ* **a** il 27 *κικλήσκομαι*] *καλοῦμαι* **a** il *κοῦρος*] *παῖς* **a** il 28 *τρωξάρταο*] *τοῦ τρώγοντος ἄρτους* **a** il *πατρὸς*] *τοῦ μυὸς* **a** il *μεγαλήτορος*] *μεγαλοψύχου* **a** il *ψιχάρπαξ μεγαλήτορα λέγει τὸν οἰκεῖον πατέρα τὸν τρωξάρτην, ἐπεὶ καὶ ἐπὶ τῶν ἔμπροσθεν λόγων δῆλος*

---

*) Lycius pag. 36: „ut autem propius ad rem accedam, primum hoc est indicandum, poetam ranarum et murium pugnam ita describere, quasi illa commissa esset juxta Eridanum, cuius rei causa talis est annotata in manu exarato codice, de quo meminimus: *ὅτι ἡ τῶν βατράχων γένεσις ἐκ θερμοῦ ὕδατος καὶ πηλοῦ γίνεται. τοιοῦτο δὲ τὸ τοῦ ἠριδάνου διὰ τὸν ἐκεῖ κεραυνωθέντα φαέθοντα*“.

29 *θυγάτηρ* 31 *παντοδαποῖσι* 32 *ποιῇ*[εἴς] *ἐς*] *εἰς* 33 *ἐμοί γε* 34 *οὔτι με λήθῃ*[ει] 35 *τρισκοπάνιστος* (cf. gloss.) 36 *οὐδὲ πλακοῦς τανύπεπλος* (*τανύπλεκτος* corr. **b**) *ἔχων πολλὴν σισαμῖδα* (*σϊσαμούτυρον* **b** adscripsit) 37 *οὐχ ἥπατα*] *οὐχ'* (sic semper) *εἴματα* (*ἧπα* **b** suprascripsit) 38 *οὐδὲ τυρὸς* 40 *θοίνην* 42 *ἀπέφυγον* 43 *εὐθὺς* 44 *οὐ δέδι' ἄνθρωπον*] *ἄνθρωπον οὐ δέδια* *μέγα σῶμα*] *σῶμα μέγα*

ἐστὶ τριῶν τε στερηθεὶς παίδων καὶ μεγαλοψύχων **b** *μήτηρ*] *ἡ μύς* sic **a** il 29 *λειχομύλη*] *ἡ τὰς μύλας* (**b** corr. *τοὺς μύλους*) *λείχουσα* **a** il *θυγάτηρ*] *ἡ* **a** il *πτερνοτρώκτου*] *τοὺς* (l. *τοῦ*) *τὰς πτέρνας τρώγοντος* **a** il 30 *γείνατο*] *ἐγέννησε* **a** il *ἡ λειχομύλη* **b** il *γείνατο δ' ἐν καλύβῃ: γείνω, ὁ μέλλων γενῶ, ὁ ἀόριστος ἔγεινα, ὁ μέσος ἐγεινάμην ἐγείνω ἐγείνατο* (excidit fortasse *καὶ ἰωνικῶς γείνατο* vel tale quid; vid. ad v. 3 *θῆκα*; ceterum cf. Et. M. 229, 17). *αἱ ἀφαιρέσεις γὰρ τῶν ἰώνων εἰσὶ, αἱ συγκοπαὶ τῶν αἰολέων, αἱ ἀποκοπαὶ τῶν ἀττικῶν καὶ τῶν δωριέων* **b** *βρωτοῖς*] *τ[οῖς] βρώμασι* **a** il 31 *ἐδέσμασι*] *τροφαῖς* **a** il *παντοδαποῖσι*] *καὶ ἄλλοις τισὶν* **a** il *διαφόροις* **b** il 32 *ἐς φύσιν*] *κατὰ τὴν* **a** il *ὁμοῖον*] *ὅμοιον* **a** il 33 *σοὶ*] *σοῦ* **a** il *βίος*] *ἡ ζωὴ* **a** il *διαγωγὴ* **b** il *ὅτι ὁ βίος πλείονα σημαίνει· καὶ γὰρ τὸν παρόντα κόσμον, τὴν ζωὴν ἑνὸς ἑκάστου, τὴν πολιτείαν, τὴν τέχνην, τὴν περιουσίαν καὶ τὴν ἁμαρτίαν· νῦν δὲ τὴν πολιτείαν καὶ τὴν διαγωγὴν σημαίνει* **b** (cf. excerpta Barocciana apud Nauck. Lex. Vindob. p. 325, 25) *αὐτὰρ*] *δὲ* **a** il *ἐμοί*] *ἐμοῦ* **a** il 34 *ὅσσα*] *ὁπόσα* **a** il *παρ'*] *ἐν* **b** il *τρώγειν*] *ἐσθίειν* **b** il 35 *τρισκοπάνιστος*] *τί ἔνι κεῖνο πολὺ* sic **a** il *δισκόλως τριβόμενος* **b** il *εὐκύκλου*] *πολυποικίλου* **a** il *κανοῦν ἄγγος τί, ἐν ᾧ συντρίβουσι τὸν σῖτον. ἴσως δὲ ἀπὸ τοῦ χαίρω* (l. *χαίνω* ex Et. M. 489, 13) *γίνεται τροπῇ τοῦ δασέος εἰς ψιλὸν* **b** 36 *οὐδὲ πλακοῦς*] *οὐδέ με λάθῃ ὁ* **a** il *πλακοῦντες εἰσὶν εἴδη καρϋνλμάτων* (corr. *καρυκευμάτων* ex Hesych.) *ἐξ ἄρτων καὶ τυρῶν κατεσκευασμένοι* **b** *τανύπλεκτος* **b**] *ἐπιτεταμένος* **b** il 37 *τόμος ἐκ πτέρνης*] *τὸ κόμμα τοῦ παπουτζίου* **a** il *τουμάζιν* sic **b** il *τόμος τὸ τουμάτζιον* (? *τομάριον*, de quo v. DC.), *ὁ ἐκ πτέρνης γινόμενος, ἤγουν τοῦ ἄκρου τῆς χειρὸς, τοῦ ἀναλογοῦντος πτέρνῃ ποδὸς* **b** *πτέρνη ἐτυμολογεῖται ἀπὸ τοῦ τὴν βάσιν τηρεῖν κατατροπῇ τοῦ β εἰς π* **b** *ἧπα[τα] σαχαροπούκια* **b** il (*σαχαροπούγγιον* ex Laonic. Cret. ad Batrach. habet DC.) *ἥπατα δὲ καὶ αὐτὰ εἴδη πλακούντων ὅμοια κατὰ τὸ σχῆμα τῷ ἥπατι* **b** *λευκοχίτωνα*] *λευκὰ* **a** il 38 *οὐδὲ*] *λήθη ἐμὲ* **a** il (ad vers. super. est *λάθη*) *νεόπηκτος*] *νεωστὶ κατασκευασμένος* sic **b** il 39 *χρηστὸν μελίτωμα*] *τὸ κατασκευαζόμενον* **a** il *καὶ διὰ μέλιτος* **a** *γλύκυσμα* **b** il *τὸ*] *ὅπερ* **a** il *μάκαρες ποθέουσιν*] *οἱ θεοὶ τὸ τρώγειν αὐτό* **a** il 40 *οὐδ' ὅσα*] *οὐδὲ λανθάνουσι τὰ πράγματα ἐκεῖνα ὁποῖα ὅσα* **a** il *θοίνην*] *εὐωχίας* **a** (**b** corr. *αν*) *τεύχουσι*] *κατασκευάζουσι* **a** il *μάγειρος ὁ μαγγαν[ε]ίας καὶ συσκευὰς εἴρων καὶ πλέκων* **b** 41 *κοσμοῦντες*] *κοσμοποιοῦν[τ]ες* **a** il – *ἀρτύμασι*] *ἐν* **a** il *παντοδαποῖσιν*] *ποικίλοις* **b** il 42 *ἀϋτὴν*] *φήμην φωνὴν* **a** il 43 *εὐθὺς*] *παραυτίκα* **a** il *μετὰ μῶλον*] *εἰς πόλεμον* **a** il 44 *δέδια*] *φοβοῦμαι* **a** il *φοροῦντα*] *ἔχοντα* **a** il

45 ἰὼν ἄκρον δάκτυλον δάκνω 46 ἄνδρα ἵκανεν] ἵκανεν ἄνδρα 47 ἀπέφυγεν 48 δύω μάλα πάντα[ταῦτα] τὰ δείδια 49 ἄγουσι 52 ἥ] ἢ τρωγλοδύνοντα 53 ῥαφάνους οὐ κράμβας 54 οὐ πράσοις: suprascriptum γρ´ καὶ σεύτλοις 56 μειδήσας 58 μάλ'] καὶ v. 61 ante v. 60 legitur 60 δισσοῖς 61 γᾶν καὶ ἐν ὕδασι 62 εὐχερὲς ἐστί 63 βαῖνε μοι 64 ὅπως γηθ. ἐς ἐμὸν

---

45 *λέκτρον*] κοίτην **a** il *ἄκρον δάκτυλον*] τὸ ἄκρον τίνος; τοῦ δακτύλου **a** il 46 *λαβόμην*] λαμβάνων **a** il *ἵκανεν*] παρεγένετο **a** il 47 *νήδυμος*] εὐφραντὸς **a** il *οὐκ ἀπέφυγεν*] οὐκ ἀπῆλθεν **a** il *ἐμεῖο*] ἐμοῦ **a** il 49 *κίρκον*] τὸν **a** il *καὶ γαλέην*] καὶ τὴν **a** il *πένθος*] θρῆνον **a** il 50 *στονόεσσαν*] ὀδυνηρὰν **a** il *δολόεις*] πανοῦργος **a** il *πέλε*] ὕπαρ[χ] **a** il *πότμος*] θάνατος **a** il 51 *πλεῖστον*] καταπολὺ **a** il *περι-*] περισσῶς **a** il 52 *τρωγλοδύνοντα*] τὸν ἐρχόμενον εἰς τὰς τρ[ύπ]ας **a** il (tinea mutilavit: cf. ad v. 206) *τρώγλην*] τρύπ[αν] **a** il *ἐρεείνει*] διώκει **a** il 53 *ῥαφάνους*] ῥεπάνια **a** il 54 *χλωροῖς*] τρυφεροῖς **b** il *ἐπιβόσκομαι*] τρέφομαι **b** il *σελίνοις*] ἐν **b** il 55 *ταῦτα*] ἅπερ εἶπον **b** il *ὑμέτερ'*] ἡμέτερος ἐπὶ πρώτου προσώπου· η γίνεται ἀπὸ τοῦ ἐγὼ τροπῇ τοῦ ε εἰς η· ὑμέτερος δὲ ἐπὶ δευτέρου προσώπου, καὶ γίνεται ἀπὸ τοῦ σύ ἀποβολῇ τοῦ σ **b** *ἐδέσματα*] βρώματα **a** il *τῶν*] ὑπαρχόντων **a** il *κατὰ*] εἰς **b** il 56 *τάδε*] ἅτινα εἶπεν ὁ μύς (**b** corr. μῦς) **a** il *μειδήσας*] γελάσας **b** il *ἀντίον ηὔδα*] ἐξεναντίας ἔλεγεν **b** il 57 *ξεῖνε*] φίλε **b** il *λίην*] ἰωνικὸν **b** il *αὐχεῖς*] καυχῆσαι κενοδοξεῖς **a** il *ἡμῖν*] ἐν **b** il τοῖς βατράχοις **a** il 58 *θαύματ' ἰδέσθαι*] θαυμαστὰ εἰς τὸ **a** il *θαύματ' ἰδέσθαι:* θαῦμα γίνεται ἀπὸ τοῦ θεάω θεῶ, ὁ μέλλων θεάσω, ὁ παρακείμενος τεθέακα, ὁ παθητικὸς τεθέαμαι καὶ τροπῇ τοῦ ε εἰς α δωρικῶς καὶ τοῦ α εἰς υ αἰολικῶς θάϋμα καὶ συναιρέσει θαῦμα **b** (Et. M. 443, 39) 59 *ἀμφίβιον:* οἱ ἐν ἀμφοτέροις τοῖς βίοις τῇ τε γῇ καὶ τῷ ὕδατι **b** καὶ κοσμεῖ τῇ τε γῇ καὶ τῇ θαλάσσῃ **a** il διπλοῦν κατὰ τὸν βίον **b** il *βατράχοισι*] τίσι **a** il *κρονίων*] ὁ ζεύς **a** il 60 *στοιχείοις δισσοῖς*] τῇ τε γῇ καὶ τῇ θαλάσσῃ **a** il. lemma illud in cod. numero δ signatum, contra ναίειν numero α, δώματα β, μεμερισμένα γ *ναίειν*] καὶ ἔδωκε **a** il 61 *σκιρτῆσαι*] χορεῦσαι **a** il *σῶμα*] τὸ **a** il *καλύψαι*] . . άψαι **b** il. prior vocis pars detrita. θάψαι? 62 *καὶ ταῦτα*] ἅ σοι λέγω **a** il *δαήμεναι:* το δαήμεναι δωρικόν ἐστι. καὶ κανονίζεται οὕτως· δαίω τὸ μανθάνω, ὁ δεύτερος ἀόριστος ἔδαον, ὁ παθητικὸς ἐδάην ἐδάης ἐδάη, καὶ τὸ ἀπαρέμφατον δαῆναι. οἱ δὲ δωριεῖς προστιθέασι καὶ τὴν με συλλαβὴν ἐν τῷ μέσῳ καὶ ποιοῦσιν αὐτῷ δαήμεναι **b** μαθεῖν **a** il *εὐχερὲς*] εὔκολον **b** il 63 *ὄληαι*] φθαρεῖς **a** il *ὄληαι* κανονίζεται οὕτως· ὄλλω τὸ φθείρω, οὗ ὁ μέλλων ὀλλῶ, ὁ ἀόριστος ὦλα, ὁ δεύτερος ὦλον, καὶ τὸ ὑποτακτικὸν ἐὰν ὄλω, καὶ τὸ ὑποτακτικὸν παθητικὸν ἐὰν ὄλωμαι ἐὰν ὄλῃ ἐὰν ὄληται, καὶ ἐκβολῇ τοῦ τ ἰωνικῶς ὄληαι. οἱ γὰρ ἴωνες τὰ δεύτερα πρόσωπα τῶν παθητικῶν ἐκ τοῦ τρίτου ποιοῦσι κατὰ ἀποβολὴν τοῦ τ, οἷον ἐὰν ὄληται ἐὰν ὄληαι, ἐὰν ἀφίκηται ἐὰν ἀφίκηαι **b** 64 *γηθόσυνος*] χαίρων **a** il *εἰσαφίκηαι*] ἔλθῃς **a** il

65 ὅδ' (in scholio 𝔟 infra posito legitur ὅδ' ἔμβαινε τ. χ. ἔ. ἀπαλοῖο δι' αὐχ.) 66 γρ' ἅ.ματι (littera altera detrita) in marg. 67 λίμνας, suprascriptum ἢ ὅρμους 68 δὴ ῥά 70 χαίτας 71 ἔσφιγγε κατὰ γαστέρος 72 καὶ ἐπὶ βούλεσθ' 73 δεινά δ' ὑπεστενάχιζε 74 οὐρὴν μὲν πρῶθ' ἤπλωσεν ἠΰτε κώπην, suprascriptum λ^{ει} (i. e. λείπει) τὸ ἐν ὕδα^σ

---

65 ἔφη] ὁ βάτραχος 𝔞 il ἔβαινε] ἐκάθισε 𝔞 il . . ὁ ὅτι (voluitne ἰστέον ὅτι ?) „ὅδ' ἔμβαινε τάχιστα χεῖρας ἔχων ἀπαλοῖο δι' αὐχένος ἅλματι κούφω" καθυπερβατὸν συντάσσεται. ἔχει δὲ οὕτως „ὅδ' ἔβαινε τάχιστα ἅλματι κούφω", εἶτα ἑξῆς „χεῖρας ἔχων, ἤγουν κρατῶν, διὰ τοῦ ἀπαλοῦ αὐχένος τοῦ βατράχου" 𝔟 66 ἅλματι] ἐν 𝔞 il 67 ὅρμος ὁ λιμήν. καὶ παράγεται ἀπὸ τοῦ ὅρμου τοῦ σημαίνοντος τὸ δακτύλιον· καί τινες τῶν λιμένων τοιοῦτοι εἰσὶ περιφερεῖς τε καὶ εὐκαμπεῖς 𝔟 68 νήξει] τῇ κολυμβήσει 𝔞 il φυσιγνάθου] τοῦ 𝔞 il 69 πορφυρέοις] κελαινοῖς 𝔞 il ἐπεκλύζετο] κατεποντίζετο 𝔞 il 70 ἄχρηστον] τὴν 𝔞 il μετάνοιαν] τὴν ταπείνωσιν 𝔞 il ὅτι τὸ μέμφομαι οὐ μόνον αἰτιατικῇ ὡς ἐνταῦθα εὕρηται συντασσόμενον, ἀλλὰ καὶ δοτικῇ· καὶ ἐν τῷ κωμικῷ „τῷ δὲ λοξίᾳ μέμψιν δικαίαν μέμφομαι ταύτην" (Aristoph. Plut. 10) 𝔟 χαίτη ἡ τρίχωσις. γίνεται δὲ κατά τινας ἀπὸ τοῦ κρατῶ κράτη, καὶ ἐκβολῇ τοῦ ρ̄ καὶ προσθέσει τοῦ ῑ καὶ τροπῇ τοῦ ψιλοῦ κ̄ εἰς δασὺ χ̄ χαίτη 𝔟 (Et. M. 807, 47) 71 κατὰ γαστέρος] τοῦ φυσιγνάθου 𝔞 il ἦτορ] τοῦ μυός 𝔞 il 72 πάλλετ'] ἐκινεῖτο 𝔞 il ἀηθείῃ] ἐν μωρίᾳ 𝔞 il ὅτι τὸ βούλετο ἰωνικόν ἐστι. καὶ σημείωσαι, ὅτι ἀεὶ παθητικῶς ἐκφέρεται τὸ βούλομαι· ὡσαύτως καὶ τὸ ὄψομαι καὶ τὸ οἴομαι καὶ τὸ ἔομαι, ὃ σημαίνει τὸ ὑπάρχω. διατοῦτο τὰ δεύτερα πρόσωπα τούτων ἀεὶ διφθογγίζονται, οἷον τὸ βούλει, τὸ ὄψει καὶ τὸ οἴει καὶ εἶ. ὁ λόγος δὲ ἐστὶ τοιοῦτος· πάντα δεύτερα πρόσωπα τῶν παθητικῶν διφθογγίζονται ἀττικῶς, ἡμεῖς δὲ οἱ τῇ κοινῇ χρώμενοι διαλέκτῳ, ἵνα μὴ συνεμπίπτῃ ἐν τοῖς τρίτοις τῶν ἑνικῶν ἐνεργητικῶν, διὰ τοῦ η̄ ταῦτα γράφομεν μετὰ τοῦ προσγεγραμμένου ι. ἐπεὶ οὖν τὰ προειρημένα ῥήματα, τὸ βούλει καὶ ὄψει καὶ οἴει — ἐάσθω γὰρ τὸ εἶ ἀπὸ συνηρέσεως (sic) διφθογγιζόμενον — ἐνεργητικὸν οὐκ ἔχει διὰ τὸ μίαν εἶναι τῶν παθητικῶν ἐνεργητικῶν (ἐνεργητικὴν? Lehrs coni.) τὴν σημασίαν, διατοῦτο εἰκότως καὶ διφθογγίζεται πλὴν ἐν μόνῃ τῇ ὁριστικῇ ἐγκλίσει (sic)· οὐ γὰρ τῇ ὑποτακτικῇ ὑπατάσσονται· καὶ ταῦτα διὰ τοῦ η̄ γράφεται πλὴν τοῦ ὄψει, ἐπεὶ τοῦτο μέλλοντος χρόνου ἐστὶ, καὶ οἱ μέλλοντες οὐχ ὑποτάσσονται, ὡς τὸ αἰσχυλικὸν (Prom. 68) ἔχει „ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτέ". τὸ δὲ εἶ οὐδ' αὐτὸ ὑποτάσσεται ὡς ὂν συνῃρημένον, οὔτε τὸ δεῖ καὶ ῥεῖ καὶ ζεῖ καὶ πλεῖ ὑποτάσσονται, ἵνα μὴ ἐκπέσωσι τῆς αὐτῶν σημασίας. τὸν δὲ τζέτζην διὰ κενῆς στιβάδας λόγων ἐν τούτοις ἐνείροντα καὶ μεγάλα φυσῶντα χαίρειν ἔα· οὔπω γὰρ ᾔδει τὸ ἀληθές 𝔟 73 ὑπεστενάχιζε] ἐστέναξε 𝔞 il [φ]όβος, ὄκνος, δειλία διαφέρουσιν· φόβος μέν ἐστιν ἡ μετὰ φόβου φυγή, ὄκνος ἡ τοῦ ἀπόντος ἀναβολή, δειλία ἡ τοῦ παρόντος. οὕτω χοιροβοσκός τε καὶ ἡρωδιανός 𝔟 κρυόεντος] τοῦ δεινοῦ 𝔞 il ὅτι τὸν φόβον κρυόεντα λέγει διὰ τὸ ἐν τῷ φοβεῖσθαι ἡμᾶς συστέλλεσθαι τὸ ζωτικὸν αἷμα κἀντεῦθεν κρύος γεννᾶσθαι. σημείωσαι δὲ περὶ τῆς γραφῆς τοῦ κρυόεντος· εἰ μὲν γαρ ἡ πρὸ τοῦ ο̄ συλλαβὴ βραχεῖα ἐστὶ καὶ τοῦ (leg. τὸ) ο̄ συστέλλεται, οἷον θυόεις κρυόεις καὶ τὰ τοιαῦτα, (insere εἰ) δὲ μακρά, μεγεθύνονται (? -θύνεται), οἷον ὠτόες (l. ὠτώεις) θειώεις (? κηώεις)

75 εὐχόμενός τε   76 πορφυρέοις δ' ἐκλύζετο πολλὰ δακρύων   77 φᾶτο   στόματος δ' ἀγόρευεν   78 ἐβάσταζε   80 ὡς νῦν ἁπλώσας (suprascriptum ἐμὲ βαστάζων) ἐπὶ νῶτον

---

b (cf. Herodian. Ὀδυσσειακ. προσ. δ 1)   ἀνάγκη] ἐν **a** il   75 ἱκέσθαι] ἐπι- sic **b** il ἐλθεῖν **a** il   76 πορφυρέοις] μελάνοις **a** il   ἐκλύζετο] κατεποντίζετο **a** il ἐβαπτίζετο **b** il   77 φᾶτο] ἔλεγεν **a** il   78 νώτοισιν] ἱστορία **a** il quae historia ex Apollodoro (III 1, 1) sumpta et in margine lacero et detrito a m. **a** adscripta sic se habet: ἀγήνωρ παραγενόμενος εἰς τὴν εὐρώπην γαμεῖ τηλέφασσαν καὶ τηνοῖ (sic) θυγατέρα μὲν εὐρώπην, παῖδα (sic) δὲ κάδμον καὶ φοίνικα καὶ κίλικα. τινὲς δὲ εὐρώπην οὐκ ἀγήνορος, ἀλλὰ φοίνικος λέγουσι. ταύτης ζεὺς ἐρασθεὶς πίπτει διὰ τῆς θαλάσσης ῥόδον ἀποπλέων ταῦρος, ὃς χειροήθης γενόμενος ἐπιβιβασθεῖσαν διὰ τῆς θαλάσσης ἐκόμισαν (sic) εἰς κρήτην. ἡ δὲ ἐκεῖ συνευνασθέντος αὐτῇ διὸς ἐγέννησε μίνωα ῥαδάμανθυν (sic). καθ' ὅμηρον δὲ σαρπηδὼν ἐκ διὸς καὶ λαοδαμείας τῆς βελλεροφόνου. ἀφανοῦς δὲ εὐρώπης γενομένης, ὁ πατὴρ αὐτῆς ἀγήνωρ ἐπὶ ζήτησιν ἐξέπεμπε τοὺς παῖδας εἰπὼν μὴ πρότερον ἀναστρέφειν, πρὶν ἂν ἐξεύρωσιν εὐρώπην. συνῆλθε δὲ ἐπὶ ζήτησιν αὐτῆς καὶ [τηλ]έφασσα ἡ μήτηρ καὶ ὁ θάσος ὁ ποσειδῶν[ος]· ὡς δὲ φερεκύδης (fr. 42 Müller) φησί, κίλικος. ὡς δὲ πᾶσαν ποιούμενοι ζήτησιν εὑρεῖν ἦσαν εὐρώπην ἀδύνατοι, τὴν εἰς οἶκον ἀνακομιδ[ὴν] ἀπογνόντες, ἄλ[λος ἀλ]λαχοῦ κατῴκησε (sic), φοῖνιξ μὲν φοινίκην, κίλιξ δὲ φοινίκης πλησίον καὶ πᾶσαν τὴν ὑφ' ἑαυτὸν (sic) κειμένην χώραν ποταμῷ σύνεγγυς πυράμω κιλικίας (sic) ἐκάλεσε· [κάδμος δὲ] καὶ τηλέφασσα ἐν θράκῃ κατῴκησαν τοῖς μυσὶν ἐκείνοις οἷς τίσουσι καὶ μέλ . . . σί (?) σε ὡς τιμωρῆσαι ἐν στρατῷ. — ἦσαν (sic!) ὁμοίως . . . (detrita) . . . ἐν θράκῃ κτίσας . . . . . . σον κατῴκησεν: — verba interpolata, quae litteris diductis dedi, in archetypo fortasse versui 98 (de quo cfr. lectionis varietas) adscripta erant. ceterum postrema lectu difficillima: multae litterae omnino evanuerunt   79 ταῦρος] ἡ ταῦρος ὄνομα κύριον **a** il ταῦρος ὅτ' εὐρώπην: (in marg. rubro pictum: ἱστορία.) ὅτι κατὰ τὸν ταῦρον καὶ τὴν εὐρώπην ἱστο[ρία] ἔχει οὕτως. φοίνικες κατ' ἐμπορίαν τινὰ εἰς τὸ ἄργος καταράντες ἥρπασαν ἰὼ τὴν ἰνάχου καὶ τῷ φοινίκων βασιλεῖ ἀπήγαγον. εἰς ἐκδίκησιν οὐκοῦν τοῦ ἀτοπήματος στέλλει καὶ ὁ τῆς κρήτης ἄρχων ζεὺς ταῦρον τινὰ ἔμπορον καὶ ἁρπάζει ἐκ φοινίκης τὴν εὐρώπην καὶ ἀπάγει αὐτῷ (αὐτῷ?)· μεθ' ἧς ἔτεκε καὶ υἱοὺς τρεῖς, τόν τε σαρπηδόνα καὶ ῥαδάμανθυν καὶ τὸν μίνωα. τινὲς δὲ λέγουσιν, ὅτι αὐτὸς ταύρῳ εἰκασθεὶς τὴν εὐρώπην ἥρπασεν. ἄλλοι δὲ φασὶν, ὅτι ταυρομόρφῳ νηῒ ταύτην ἐνέβαλεν, ὧν ἐστὶ καὶ ὁ χαλκιδεύς· φησὶ γὰρ ὅτι „ἐν ταυρομόρφῳ τράμπιδος τυπώματι“ (Lycophr. 1299. ὅτι delendum, nisi poetae verba αἰχμάλωτον ἤμπρευσαν πόριν excidisse sumas). ἢ ὅτι ὁ ζεὺς τὸν οἰκεῖον ναύκληρον τὸν ταῦρον προσεποιήσατο καὶ οὕτως αὐτὴν ἥρπασεν. ἀλλὰ μὲν τῆς ἱστορίας ἔχουσιν οὕτως· ἡ δὲ σύνταξις (?) οὐχ οὕτως· διεβίβασεν δὲ κρήτην ἐπινώτιον τὴν εὐρώπην ὁ ταῦρος διὰ μέσον τοῦ κύματος καὶ τῆς θαλάσσης, ὡς ἐμὲ ὁ βάτραχος εἰς τὸν οἰκεῖον οἶκον ἠγάγετο. ὁ μὲν γὰρ καὶ ταῦτα φυγὰς ὢν ἀπαθὴς ἔμεινεν, ὁ δὲ βάτραχος καίτοι εὔνους ὢν ὅμως ἀπελάθετο φίλον ἀπολέσθαι. καὶ ἡ αἰτία· ὕδρος γάρ, ἤγουν ὁ ὄφις, ἐξαίφνης ἐφαίνετο. τὸ δὲ ἀντὶ τοῦ γὰρ ληπτέον **b**   ἐπὶ κρήτην] τίνα **a** il   80 ἐπὶ νῶτον] ἐπάνω τῆς ῥάχεως **b** il   ἦγεν ἐς

81 ἀμπειάσας] ἀπλώσας 83 πᾶσιν ὁμῶς· ὀρθόν δ' 85 ἀπολλύμεναι κατὰ λίμνην, suprascriptum ἢ καταλιπεῖν 86 δῦ δε 88 χέρας κατέτριζε 91 βάρος ἔσχον (suprascriptum ἦεν) ὑπ' αὐτόν 92 ὕστατα] ὕδατι ἐφθέγγετο 93 λήθεις 95 μοι (suprascriptum ου) 96 εἰς] ἐς πλανήσας] suprascriptum καὶ ὑπατήσας 97 εἰς] ἐς 98 ποινὴν ἀντέκτισιν ὀρθὴν. ὅς (suprascriptum λείπει σε) κ' ἀποδώσει || τοῖς (suprascriptum καὶ τάχα) τίσουσι (suprascriptum σε) γε μυῶν στρατῷ (suprascriptum ὅς) οὐδ' ὑπαλύξεις 99 ὕδατι· τόν δε κατεῖδε 100 μαλακῇσι 101 δεινόν δ' ἐξωλόλυξε δραμών δ' 103 ἐκέλευον (suprascriptum σαν)

οἶκον] ἐμὲ **a** il 82 ὕδρος] ὁ ὄφις ὑδατήρ (ὑδατηρός?) **a** il ὅραμα] βλέμμα **a** il 83 πᾶσιν ὁμῶς] τοῖς οὖσιν ἐκεῖ βατράχοις ἢ τῷ μυῒ καὶ βατρ[άχῳ] **a** il ὑπὲρ] ὑπὲρ ἄνω **a** il εἶχε] ὁ ὄφις **a** il 84 τοῦτον] τὸν ὄφιν **a** il φυσίγναθος] ὁ βάτραχος **a** il 85 ἀπολλύμεναι] ἀπολέσαι **a** il 86 δῦ] ὑπεισῆλθεν **a** il ὅτι τὸ θέμα (fort. τὸ μὲν) δύω καὶ ἀναδυω ἐπὶ ὕδατος, τὸ δὲ καταβαίνω καὶ ἀναβαίνω ἐπὶ γῆς. δῦ ἤγουν ἔδυ κατὰ ἀφαίρεσιν· γίνεται δὲ ἀπὸ τοῦ δῦμι, καὶ ἔστι χρόν[ος] ἀορίστ[ου] δευτέρου **b** βάθος] εἰς **a** il ἀλεύατο] ἐξέφυγε **a** il ἀλεύατο κανον[ίζεται] ἀλέω καὶ ἐπενθέσει τοῦ ῡ ἀλεύω, ὁ μέλλων ἀλεύσω, ἤλευσα, ὁ μέσος ἠλευσάμην ἠλεύσω ἠλεύσατο καὶ ἀποβολῇ τοῦ σ̄ καὶ συστολῇ ἰωνικῇ τοῦ η̄ εἰς ᾱ ἀλεύατο **b** 87 κεῖνος] ὁ μύς sic **a** il ἀφέθη] συνεχωρήθη **a** il ἀφέθην· ἀφίημι, ὁ μέλλων ἀφήσω, ὁ παρακείμενος ἀφῆκα ὡς τέθεικα, ὁ παθητικὸς ἀφεῖμαι, ὁ ἀόριστος ἀφέθην **b** 88 ὀλλύμενος] φθειρόμενος **a** il κατέτριζε] ἐγγόγυζε (l. ἐγόγγυζε) ἐτζήριζε **a** il 89 πολλάκι] αἰολικὸν **a** il αὖτε] πάλιν **a** il 90 ἀπαλύξαι (sic) κα[νονίζε]ται οὕτως· ἀλεύω, ὁ μέλλων ἀλεύσω καὶ ἐκβολῇ τοῦ ε̄ καὶ πλεονασ[μῷ] τοῦ ἑτέρου σ̄ ἀλύσσω· καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα καὶ γίνεται ἀλύσσω ἀλύξω, ὁ ἀόριστος ἤλυξα καὶ τὸ ἀπαρέμφατον ἀλύξαι **b** 91 δευόμεναι] βρεχόμεναι **a** il 92 ὀλλύμενος] φθειρόμενος **a** il 93 οὐ λήθεις] οὐ λάθῃς **b** il ταῦτα ποιήσας] τὰ πράγματα ποιήσας μετὰ δόλου **a** il 94 ναυηγὸν τὸν ναύκληρον ἐνταῦτα (sic), παρὰ τὸ ἄγειν τὴν ναῦν **b** ἐμὲ τὸν ἔμπορον καὶ ἡγεμόνα τῆς νηὸς **a** il ἀπὸ σώματος] λείπει σοῦ **a** il ὡς] ὥσπερ **a** il 95 ἀμείνων] κρειττότερος ἐμοῦ **a** il κάκιστε] ὦ βάτραχε **a** il 96 παγκρατίῳ] πῶς; εἶδος ἄθλου **a** il ὀλυμπίῳ **b** il παγκράτιον εἶδος ἀγωνίσματος ὥσπερ τῇ πάλῃ **b** 97 ἔκδικον] ἐκδικητικὸν **a** il 98 ἀντέκτισιν] ἀντιτιμωρίαν **a** il cf. lect. var. ἀποδώσει] πῶς; ἀπὸ τῶν μυῶν **a** il 98[b] τοῖς] τοῖς εἰρημένοις **b** il ὑπαλύξεις] ἐκφύγεις sic **b** il 99 ὡς] οὕτως **b** il εἰπών] ὁ μύς **a** il (accentum corr. **b**) 100 λειχοπίναξ] ὁ τοὺς πίνακας λείχων, ὁ μῦς **a** il ὄχθησιν] τοῖς χείλεσι τοῦ ποταμοῦ **a** il 101 ἐξωλόλυξε] ἐθρήνησε **a** il ὅτι ὀλυγμὸς ἐπὶ θρήνου λαμβάνεται, ὁ δὲ ἀλαλαγμὸς ἐπὶ εὐφροσύνης καὶ χαρᾶς **b** τὸ δὲ δραμών ἀπὸ τοῦ δρέμω θέματος κεκρυμμένου, ἀφ' οὗ καὶ ὁ δρόμος. οὕτω καὶ ἀπὸ τοῦ βέλλω τὸ ἔβαλλον καὶ τὸ βέλος καὶ ἡ βολή· καὶ ἀπὸ τοῦ φήγω τὸ ἔφαγον καὶ ἀπὸ τοῦ μήθω τὸ ἔμαθον **b** 102 τὴν μοῖραν] τὸν θάνατον **a** il 103 κηρύκεσσιν] μανδάτωρσιν **a** il τι (sic) ὁ ὄρθ[ρ]ος; ἀπὸ τοῦ ὀρνύω (?) καὶ τὸ θορῶ, ἃ σημαί-

104 ἀγορὴν ἐς 106 μικρὸν, suprascriptum ἢ νεκρὸν 107 ὑπενήχετο 110 μόνος ἐγὼ πολλὰ κακὰ πέπονθα 111 ἐκ βατράχων; ἀλλ' ἡ μοῖρα (suprascriptum ἢ ἡ πεῖρα) πάντ. τέτ. 112 εἰμί δ' ἐγὼ δύστηνος (suprascriptum νῦν ἐλεεινός) 113 πρῶτον κατ. 114 ἔχθιστος ἔκτοσθεν 115 ἀπηνέες (ἐς suprascriptum) μόρον ἔκταν, suprascriptum γρ' εἷλξαν 116 δόλον] μόρον 118 ὃ] ὁ ἐμοὶ καὶ μητέρι κεδνῇ] suprascriptum γρ' ἐπεὶ μοῦνον ἐλέλειπτο 119 ἀπέπνιξε ἄξας] ἄγξας 120 ὁπλισόμεσθα] ὁπλίζεσθε 121 δαιδαλέοισι 122 ἀνέπεισε (suprascriptum παρέ) 124 κνημῖδας μὲν πρῶτον περὶ κνήμησιν ἔθεντο (suprascriptum εἰς δύο μηρούς)

